www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΕΝΔΟΞΟΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ
# ΤΟΥ ΧΡΙΣΤΟΥ
# ΑΙΚΑΤΕΡΙΝΑΝ ΤΗΝ ΠΑΝΣΟΦΟΝ

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

*** ͵βιε΄ * 2015 ***

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΕΝΔΟΞΟΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ ΤΟΥ ΧΡΙΣΤΟΥ
# ΑΙΚΑΤΕΡΙΝΑΝ ΤΗΝ ΠΑΝΣΟΦΟΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Οἶκος σοφίας γεγονυῖα παρθένε,
διὰ μελέτης καὶ Θεοῦ εὐλογίας,
Αἰκατερῖνα δὸς αὐτὴν αἰτοῦσί σε πιστῶς,
ὅπως φωτιζόμενοι, Παρακλήτου ἀκτῖσι,
πάντα ὑπερβαίνωμεν, τὰ ὑψούμενα τείχη,
καὶ εὐγνωμόνως δόξαν τῷ Χριστῷ,
δῶμεν τῷ οὕτως, σὲ Μάρτυς δοξάσαντι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
*«Σοφίαν δὸς αἰτοῦσί σε, Αἰκατερῖνα θεία. Ἀ(θανάσιος)».*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.

Σοφίας λειπόμενοι θεϊκῆς, αἰτούμεθα Μάρτυς, ταύτην κτήσασθαι σαῖς εὐχαῖς, πρὸς λύσιν τῶν βίου προβλημάτων, Αἰκατερῖνα εὐχαῖς σου πρὸς Κύριον.

Ὁ δότης ἁπάντων τῶν ἀγαθῶν, σοφίαν δεδώκει, κοσμικήν σοι καὶ τὴν Αὐτοῦ, ἣν δίδου σεμνὴ Αἰκατερῖνα, τοῖς ὥσπερ δῶρον αὐτὴν ἐκζητοῦσί σου.

Φιλόγνωσος οὖσα ἐν διαρκεῖ, μελέτῃ ἐγένου, τῆς σοφίας οἶκος λαμπρός, διὸ καὶ ἡμᾶς Αἰκατερῖνα, δοχεῖα ταύτης πρεσβείαις σου ποίησον.

Θεοτοκίον

Ἱκέτευε Πάναγνε τὸν Χριστόν, ὡς ὄντα Σοφίαν, προαιώνιον τοῦ Πατρός, ἡμῖν παρασχεῖν θείαν σοφίαν, ὅπως γνωρίσωμεν Τούτου τὸ θέλημα.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἄνευ θείας σοφίας, πρᾶξις ἡμῶν ἅπασα, ἄχρηστος ὑπάρχει τῷ ὄντι καὶ ἀνωφέλιμος, ὅθεν αἰτούμεθα, Αἰκατερῖνα σοφίαν, ἣν Χριστός σοι δέδωκεν, δῶρον ὑπέρτιμον.

Νίκην ἤγαγες ὅτε, πρὸς τοὺς σοφοὺς ἔστηκας, καὶ συνδιελέχθης σὺ μόνη, μάρτυς θεόσοφε, ἔχουσα ἄνωθεν, Αἰκατερῖνα Κυρίου, φωτισμὸν οὐράνιον, ὃν ἡμῖν χάρισαι.

Δωρεὰν τῶν χαρίτων, παρὰ Θεοῦ εἴληφας, δι᾽ ὧν ποθητὴ ἐγεγόνεις, πολλοῖς ὡς σύζυγος, σὺ δ᾽ ὅμως κέκρικας, Αἰκατερῖνα γενέσθαι, νύμφη τούτου ἄφθορος, καὶ παρθενεύουσα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Θεοτοκίον

Ὁ Υἱός σου Παρθένε, ἐπιφανεὶς εἵλκυσε, τὴν Αἰκατερῖναν εἰς πίστιν, Αὐτοῦ καὶ ἔδειξε, ταύτην ἐν Μάρτυσι, καὶ ἐν Παρθένοις μεγίστην, μεθ' ἧς ἡμῶν γένοισθε, πρέσβεις πρὸς Κύριον,

Διάσωσον, τοὺς σὲ τιμῶντας Αἰκατερῖνα παρθενομάρτυς, ἀπὸ πάσης τοῦ πονηροῦ ἐπιθέσεως, καὶ σόφισον ἡμᾶς ἀεί, ἐκτελεῖν ἐντολὰς τοῦ Κυρίου.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Σοφίαν Θεοῦ, Αἰκατερῖνα πάρεχε, ἡμῖν τὴν αὐτήν, αἰτοῦσι ταῖς πρεσβείαις σου, ὅπως βίου πέλαγος, ὥσπερ τέκνα φωτὸς διανύσωμεν, καὶ σωφροσύνῃ ἀληθεῖ, Παράδεισον εὕρωμεν τὸν πάντερπνον.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Σωφροσύνην ἐνδέδυσαι, τὴν ἀγγελομίμητον καλλιπάρθενε, ἣν τοῖς πόθῳ σε γεραίρουσι, χάρισαι θησαύρισμα ἰσόβιον.

Ἁγνοτάτην ἐφύλαξας, τὴν παρθενικήν σου σάρκα πάσης μολύνσεως, ὅθεν πάντας τοὺς ἁγνεύοντας, στήριζε εὐχαῖς ταῖς ἁγνοτάταις σου.

Ἱερὸν ὡς ἀνάθημα, ὦ Αἰκατερῖνα Χριστῷ ἀνέθηκας, σεαυτὴν διὸ ὡς σφάγια, λογικὰ ἡμᾶς Αὐτοῦ ἀνάδειξον.

Θεοτοκίον

Τὸν Υἱόν σου καὶ Κύριον, μυστικὸν νυμφίον κόρη ὑπέδειξας, ἥτις Τοῦτον ἀνεκήρυξε, πρὸ ἀπίστων εἶναι Θεὸν τέλειον.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Ὅσα σοι Χριστός, ἐχαρίσατο δωρήματα, Αἰκατερῖνα πρὸς τὴν δόξαν τὴν Αὐτοῦ, σοφῶς ἐχρήσω, τοὺς συνόντας καταπλήξασα.

Ὕψωσον σοφή, τὰς σὰς χεῖρας πρὸς τὸν Κύριον, καὶ τὴν σοφίαν τὴν Αὐτοῦ δίδου πιστοῖς, τοῖς ἐκζητοῦσι, ταῖς ἁγίαις σου δεήσεσι .

Στήλας τῶν παθῶν, ψυχικῶν ἡμῶν ὡς εἴδωλα, Αἰκατερῖνα καταλέπτυνον σεμνή, καὶ τοῦ Κυρίου, λατρευτὰς ἡμᾶς ἀνάδειξον.

Θεοτοκίον

Ἴασαι ψυχῶν, καὶ σωμάτων ἀῤῥωστήματα, ἡ τετοκυῖα τῶν ἁπάντων Ἰατρόν, Παρθενομῆτορ, τὸν τὴν φύσιν ἡμῶν σῴσαντα.

Ὠιδὴ ϛ'. Τὴν δέησιν.

Συνέσεως, ἐμπλησθεῖσα Πνεύματος, τοῦ Ἁγίου φιλοσόφων ἀσόφων, λήρους σαθρούς, κατενίκησας μόνη, καὶ πρὸς τὴν πίστιν Χριστοῦ τούτους ἤνεγκας, εἰς ἣν ἑδραίωσον σοφή, τοὺς τιμῶντας τὴν θείαν σου ἄθλησιν.

Ἐθαύμασαν, τοῦ Χριστοῦ τὴν δύναμιν, δι' ἧς ἴσχυσας τοὺς πόνους βασάνων, ὑπενεγκεῖν, καὶ λαβεῖν θεῖον στέφος, Αἰκατερῖνα οἱ δήμιοι βλέποντες, τὴν σὴν στεῤῥὰν ὑπομονήν, ἣν παράσχου τοῖς σὲ μακαρίζουσιν.

Ἀγάπην σου, καὶ τὸν θεῖον ἔρωτα, ταῖς ψυχαῖς τῶν ὑμνητῶν σου παράσχου, ὅπως ἀεί, πειρασμοὺς τοὺς ποικίλους, καθάπερ τεῖχος σαθρὸν καταβάλλωμεν, καὶ δρόμον τοῦ ἁγιασμοῦ, εὐθυπόρως Ἁγία τελέσωμεν.

Θεοτοκίον

www.tezaurliturgic.ro


Ἱκάνωσον, Παναγία Δέσποινα, τὰς παγίδας πειρασμῶν ὑπερβαίνειν, ὅτι πολλαί, ὑποκρύπτονται κόσμῳ, ᾧπερ βιοῦμεν καὶ ζῶμεν τὰ τέκνα σου, καὶ σόφισον πῶς δεῖ ἀεί, ἐν Χριστῷ πολιτεύεσθαι Πάναγνε.

Διάσωσον, τοὺς σὲ τιμῶντας Αἰκατερῖνα παρθενομάρτυς, ἀπὸ πάσης τοῦ πονηροῦ ἐπιθέσεως, καὶ σόφισον ἡμᾶς ἀεί, ἐκτελεῖν ἐντολὰς τοῦ Κυρίου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Τῆς σοφίας Θεοῦ Λόγου σκήνωμα, καὶ ἁγνότητος οἶκος παγκάθαρος, ἀνεδείχθης, Αἰκατερῖνα νύμφη τοῦ Χριστοῦ, δι' Οὗ, ᾔσχυνας εἰδωλικήν, φιλοσοφίαν καὶ πολλούς, εἰς τὴν πίστιν ὡδήγησας. Πλείστοις δὲ μαρτυρίοις, εἴληφας θεῖον στέφος, καὶ τῶν τιμώντων σε πιστῶς, ἐκπληροῖς πάντα αἰτήματα.

Προκείμενον. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.

Στίχ. *Ὑπομένουσα ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*

## Εὐαγγέλιον.

*Ἐκ τοῦ κατὰ Ματθαῖον* (κεφ. 25, 1-13).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ

ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρωπου ἔρχεται.

*Δόξα Πατρί.*

Ταῖς τῆς Ἀθληφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Χριστομάρτυς πάνσοφε,
Αἰκατερῖνα θεόφρον,
νύμφη πανακήρατε,
Θεοῦ Λόγου οἴκημα ἁγιώτατον,
τοὺς πιστῶς τιμῶντάς σε,
πάντοτε εὐλόγει,
καὶ αἰτήσεις τούτων πλήρωσον,
ταῖς ἱκεσίαις σου, πρὸς τὸν ἀγαθὸν καὶ φιλάνθρωπον.

Τὰς ἀσθενείας ἴασαι,
δώρησαι σοφίαν τὴν ἄνωθεν,
ὅπως εὐγνωμόνως,
τὴν μνήμην σου τελῶμεν τὴν σεπτήν,
καὶ τὸν Σωτῆρα δοξάζωμεν,
τὸν σὲ στεφανώσαντα.

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Καθαρότητος οἶκον, κατιδὼν ὁ Σωτήρ σε νύμφην ἠγάγετο, ἐμπλήσας σε σοφίας, τῆς θείας ἣν παράσχου, τοῖς πιστῶς αἰτουμένοις σου, ὅπως ἐχθροῦ δολεροῦ, φεύγωμεν τὰς παγίδας.

Ἀληθείας Κυρίου, ὡς ἐπέγνως τὸν πλοῦτον εὐθὺς ἀπέῤῥιψας, τὴν πλάνην τῶν εἰδώλων, διὸ Αἰκατερῖνα, καὶ ἡμᾶς καταξίωσον, ἀκολουθεῖν ἀκλινῶς, Χριστοῦ τῇ ἀληθείᾳ.

Τετρωμένη τῷ πόθῳ, τοῦ Κυρίου ἀνέδραμες ὥσπερ ἔλαφος, σεμνὴ Αἰκατερῖνα, ὀπίσω Τούτου γνῶναι, τὰ μυστήρια πίστεως, ὅθεν ἡμᾶς μιμητάς, σοῦ δεῖξον εὐχομένη.

Θεοτοκίον

Εὐμενῆ τὸν Δεσπότην, Θεοτόκε τοῖς δούλοις σου μεταποίησον, ἵνα μὴ ἀποστρέψῃ, τὸ πρόσωπον ὡς πάλαι, ἐκ τῆς Μάρτυρος ἔπραξεν, ἀλλὰ ἱλέως ἡμῖν, τὸ ὄμμα ἐπιῤῥίψῃ.

Ὠιδὴ η'. Τὸν βασιλέα.

Ῥημάτων θείων, τὴν ἀποκάλυψιν δίδου, τοῖς αἰτοῦσι σοφὴ Αἰκατερῖνα, ἵνα σωτηρίας, βαδίσωμεν τὰς τρίβους.

Ἰσχὺν παράσχου, τοῖς ἐκ παθῶν κλονουμένοις, ἀθληφόρε σεμνὴ Αἰκατερῖνα, καὶ ἐλευθερίαν, ἐκ τούτων ἀξιώσαις.

www.tezaurliturgic.ro



Ναὸν Κυρίου, ἡγιασμένον τὸ σῶμα, τῶν ποθούντων Αὐτῷ συνενωθῆναι, δεῖξον ταῖς εὐχαῖς σου, ἁγνὴ Αἰκατερῖνα.

Θεοτοκίον

Ἁμαρτανόντων, ὑπάρχεις πύλη Παρθένε, πρὸς Δεσπότην διὰ τῆς μετανοίας, ἣν ὡς δῶρον δίδου, τοῖς μεγαλύνουσί σε.

Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.

Θεῷ παρισταμένη, πλήρου τὰς αἰτήσεις, Αἰκατερῖνα σοφὴ τῶν τιμώντων σε, χαριζομένη ἑκάστῳ, τὸ συμφερότερον.

Εὐλόγησον τοὺς ὅσοι, σὲ ἐπικαλοῦνται, Αἰκατερῖνα καὶ τούτους ἐνίσχυσον, ἐν ταῖς ποικίλαις ἀνάγκαις, καὶ περιστάσεσιν.

Ἰάτρευσον σωμάτων, καὶ ψυχῶν τὰς νόσους, Αἰκατερῖνα ἡμῶν ἱκετεύουσα, τὸν Ἰησοῦν ὅτι ἔχεις, εὐχῶν τὴν δύναμιν.

Ἀξίωσον παρθένε, καὶ γενναία μάρτυς, Αἰκατερῖνα πιστοὺς  τοὺς τιμῶντάς σε, τῆς οὐρανῶν Βασιλείας, ἧς σὺ τετύχηκας.

Θεοτοκίον

Ἁπάντων τὰς δεήσεις, δέξαι Θεοτόκε, τῶν χριστωνύμων καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ ὥσπερ οὖσα, μήτηρ φιλότεκνος.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξωτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Μεγαλυνάρια



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Χαίροις νύμφη πάνσοφε τοῦ Χριστοῦ, μάρτυς ἀθληφόρε, τῆς ἁγνείας οἶκος λαμπρός, ὦ Αἰκατερῖνα, παρθένων εὐκοσμία, καὶ τῶν πιστῶν ἁπάντων, θεῖον προσφύγιον.

Ὥσπερ κατενίκησας τοὺς σοφούς, τῇ θείᾳ σοφίᾳ, καὶ ἐδόξασας τὸν Χριστόν, οὕτω σαῖς πρεσβείαις, σεμνὴ Αἰκατερῖνα, ἡμῶν τὰ τυραννοῦντα, πάθη ἀφάνισον.

Τοὺς ποθοῦντας ζῆσαι ἐν τῷ Χριστῷ, ὦ Αἰκατερῖνα, ἐν ἁγνότητι καθαρᾷ, στήριξον ὡς οὖσα, παρθένος ἁγνοτάτη, καὶ τοῦ ἐχθροῦ τὰ βέλη, ὡς χοῦν διάλυε.

Πλῆσον τῆς σοφίας τῆς θεϊκῆς, τοὺς ἐξαιτουμένους, σαῖς πρεσβείαις ὅπως ἀεί, πράττωμεν προθύμως, σοφὴ Αἰκατερῖνα, τὰς ἐντολὰς Κυρίου,
καὶ τὰ θελήματα.

Τὴν ὁμώνυμόν σου Πόλιν σκέπε ἀεί, ἐκ παντὸς κινδύνου, καὶ οἰκοῦντας ταύτην πιστούς, ὦ Αἰκατερῖνα, εὐλόγει ταῖς εὐχαῖς σου, καὶ φύλαττε ἀτρώτους, ἐκ πάσης θλίψεως.

Ὥσπερ τὸ σὸν σκῆνος τὸ ἱερόν, ἐξ Ἀλεξανδρείας, ἐνηνόχασιν εἰς Σινᾶ, Ἄγγελοι Κυρίου, οὕτως Αἰκατερῖνα, ἐν ταῖς σεπταῖς χερσί σου, κράτει τοὺς δούλους σου.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*τὸ ἀπολυτίκιον ἢ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.

Κάθαρον ἡμῶν τοὺς λογισμούς, καὶ σοφίαν θείαν παράσχου, Αἰκατερῖνα σοφή, ὅπως τὰ θελήματα, ἐπιτελῶμεν Χριστοῦ, καὶ ἐχθρῶν διαφύλαξον, τοὺς σὲ ἀνυμνοῦντας, τὸν γλυκὺν Παράδεισον, χαριζομένη σεμνή, ἔνθα σὺν χοροῖς τῶν Ἁγίων, τῶν ἀπὸ αἰώνων ἁπάντων, Τούτου θεῖον πρόσωπον ὀψόμεθα.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Δι᾽ εὐχῶν.

Στίχοι

*Τοὺς σὲ τιμῶντας, σοφὴ Αἰκατερῖνα,*
*Σύναψον Χριστῷ σεπταῖς σου ἱκεσίαις.*

## Εὐχὴ εἰς μέλλοντας μετασχεῖν τῶν πανελλαδικῶν ἐξετάσεων

* * *

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Λόγος καὶ ἡ Σοφία τοῦ οὐρανίου Πατρός, τὸ Φῶς τὸ ἀληθινόν, ὁ διὰ τῆς ἐπιλάμψεώς σου φωτίσας τὸν νοῦν καὶ τὴν καρδίαν τῆς παρθένου καὶ μάρτυρός σου Αἰκατερίνης καὶ ὁδηγήσας εἰς τὸ φῶς τῆς ἀληθείας Σου, ὁ ἐνισχύσας ταύτην τῇ δυνάμει τοῦ Παναγίου Σου Πνεύματος εἰς τὸ κατανικῆσαι θαυμαστῶς τὴν μεμωραμένην σοφίαν τῶν φιλοσόφων, καὶ πλείστας ψυχὰς ἑλκῦσαι εἰς τὴν θεογνωσίαν, καὶ ἀξιώσας δὲ ἐν τέλει ὑποστῆναι τὸ ἔνδοξον μαρτύριον, Σὲ παρακαλοῦμεν καὶ Σὲ ἱκετεύομεν Φιλάνθρωπε, ὅπως ταῖς πρεσβείαις ταύτης τῆς ἐνδόξου καὶ πανσόφου Παρθενομάρτυρός Σου, ἰδιαιτέρας δὲ προστάτιδος οὔσης τῆς Πόλεως ἡμῶν, φωτίσῃς καὶ ἐνισχύσῃς καὶ ἡμᾶς τοὺς ἀδυνάτους, ἐρχομένους διαγωνισθῆναι εἰς τὰς πανελλαδικὰς ἐξετάσεις, διανοίγων τὸν νοῦν καὶ τὴν ἀντίληψιν ἡμῶν πρὸς ἐπιτυχίαν τῶν ποθουμένων σκοπῶν, ἵνα κατὰ τὸ πανάγιον θέλημά Σου ἐπιτυγχάνοντες προχωρήσωμεν εἰς τὴν περαιτέρω κοινωνικὴν καὶ ἐπαγγελματικὴν ζωὴν ἡμῶν καὶ εὐγνωμόνως δοξάζωμεν πάντοτε τὴν πάνσοφον καὶ θαυματουργὸν Ἁγίαν Σου καὶ προσκυνῶμεν ἐν εὐχαριστίαις Σὲ τὸν ἀληθινὸν Θεὸν καὶ Σωτῆρα ἡμῶν, τὸν χορηγὸν παντὸς ἀγαθοῦ. Ἀμήν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ